# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: wbc-ab

*Ἀνώνυμος Γραμματικὸς Σχολίων* · Anonymous Grammatical Scholia

# Scholia-Iliad

## *Σχόλια εἰς τὴν Ἰλιάδα*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

1,a μῆνιν: ὀργὴν ἐπίμονον, χόλον. Os 1 ἄειδε: †ἴσε (fort.

1,b ἴσ 〈τ〉 ε), λέγε. πόθεν τὸ ἀείδω; Os 1 θεά: τὴν Καλλιόπην, ὅτι πᾶσαν ἐκ μιᾶς καλεῖ.

1,c Os 1 †Πηληϊέδου (lege Πηληϊάδεω): ὁ Πηλέως παῖς.

1,d Os 1 οὐλομένην: ἡ δ ⌊ ι ⌋ ε ⌊ φθ ⌋ ειρομέν(η).

2,a Os 1 ἥ: ἀναφορικὸν μορίον ἀντὶ τοῦ ἥτις.

2,b Os 1 Ἀχαίοις: τοῖς Ἕλλησι.

2,d Os 1 ἄλγεα: κακά, λύπας.

2,e Os 1 ἔθηκεν: ποίησ(ε), εἰργάσατο.

2,f Os 1 πολλάς: παμπόλλους.

3,a Os 1 Ἄϊδι: .

3,c .. οὕτως ᾅδης καὶ κατὰ ⌊ μεταπλα ⌋ σμὸν ᾅδης ᾅδος ᾅδι. Os 1 (ἑλώρια:) ἑλκύσματα, σπαράγματα.

4,b Os 2 (τεῦχε:) ἐποίει.

4,c Os 2 (οἰωνοῖσι:) ἀπὸ τοῦ οἶος καὶ {καὶ} τοῦ ᾠόν.

5,a1 Os 1 (οἰωνοῖσι:) τοῖς σαρκοφόροις ὄρνισι· λέγει δὲ γυψὶ καὶ κόραξι.

5,a2 Os 2 (Διός:) Ἀττικῶς ν (?).

5,b Os 1 ἐτελείετο: τελείω.

5,c Os 1 (διαστήτην:) ἵστημι, ὁ δεύτερος ἀόριστος ἔστην, τὸ τρίτον τῶν δυϊκῶν ἐστήτην καὶ διαστήτην.

6,b Os 1 (ἐρίσαντε:) φιλονεικήσαντες.

7,a (Ἀτρεΐδης:) Ἀτρέως παῖς Ἀγαμέμνων. (τίς τ᾽ ἄρ σφωε:) τίς δ᾽ αὐτοὺς τοὺς δύο, Ἀγαμέμνονα καὶ Ἀχιλλέα.

8,a πάλιν δὲ τοῦτο ὁ ποιητὴς ἐρωτᾷ τὴν Μοῦσαν. (βασιλεύς:) σινεύς.

9,d Os 1 (χολωθείς:) ὀργισθείς.

10,a (νοῦσον:) νόσον λοιμόγενον. (ἀνὰ στρατόν:) ἀνὰ τὸ (τὸ Os 3 : τη Os 2 ut vid.

10,b ) στρατόπεδον. (ὀλέκοντο:) ἀπώλλοντο (Os 3 : ἀπόλλοντο Os 2 ).

11,b1 (οὕνεκα τὸν Χρύσην:) ἕνεκα, ἐπειδὴ τὸν Χρύσην (Χρ. scripsi: post ρ litt. inc. del.). (ἠτίμησεν:) Ἀτ 〈τ〉 ικῶς ὕβρισεν.

11,c (ἀρητῆρα:) ἱερέα, παρὰ τὸ ἀρᾶσθαι, ὅ ἐστιν εὔχεσθαι. (θοάς:) ταχείας, σημαίνει δὲ ὀξείας, ὡς ἐν ἐκείνοις· „ἔνθεν δ’ αὖ νήσοισιν ἐπιπροέη ⌊ κε ⌋ θοῇσιν“ (ο 299).

13,c (ἀπερείσι’:) ἄπειρα τῷ πλήθει, πολλά. ἄποινα: δῶρα, λύτρα, ἄφοινά τινα ὄντα, τὰ ἕνεκεν φόνου διδόμενα.

15 λίσσετο: παρεκάλει, ἐλιτάνευε. (δοῖεν:) παράσχοιεν.

20,a (παῖδα:) τὴν θυγατέρα{ν} μου. (δέχθαι:) †λαμβάνεται (lege λαμβάνεσθαι).

24,a (ἥνδανε:) ἤρεσκε. (θυμῷ:) ἐν τῇ ψυχῇ.

25,a (ἀφίει:) ἀπέπεμπε. (μή σε γέρον:) μή σε, ὦ πρεσβύτα.

26,b (κοίλῃσιν:) κοίλαις, βαθείαις. (κιχείω:) καταλάβω.

27,a (δηθύνοντα:) εὐχρονίζοντα. (ἰόντα:) παραγενόμενον.

29,b (ἔπεισιν:) καταλάβῃ. (ἱστὸν ἐποιχομένην:) ἱστουργοῦσαν καὶ ὑφαίνουσαν.

31,d (ἀντιόωσαν:) ἀντιλαμβανομένην καὶ μετέχουσαν. νέηαι: χρόνου ἐνεστῶτος καὶ παρατατικοῦ δευτέρου προσώπου.

32,d1 οἱ γὰρ Ἴωνες ὁμοίως τοῖς ὁριστικοῖς καὶ τὰ ὑποτακτικὰ ποιοῦσιν. ... ἔστι νέω τὸ πορεύομαι καὶ τὸ παθητικὸν ἐὰν νέωμαι, τὸ τρίτον νέηται καὶ Ἰωνικῶς νέηαι. συστέλλοντες γὰρ τὸ τ οἱ Ἴωνες ποιοῦσι τὸ δεύτερον πρόσωπον, οἷον νέηται, νέηαι. Os 1 (νέηαι:) πορευθῇς, ἐπανελθῇς.

33,a (ἔφατο:) εἶπεν. (ἔδδεισεν:) ἐφοβήθη, εὐλαβήθη.

34,b (ἀκέων:) ἡσυχάζων, σιωπῶν (ς scripsi: σιοπῶν Os 2 ). (παρὰ θῖνα:) παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης.

34,d (πολυφλοίσβοιο:) πολυήχου, πολυταράχου. (κιών:) παραγενόμενος, πορευθείς.

35,d (ἠρᾶθ’:) ηὔχετο. (ἠΰκομος:) εὔκομος, ἀπὸ μέρους (post μέρους verb.

36,b τὸ ὅλ. hab. Os 2: del. Os 3 ) καλή. τέκε: ἐγέννησε.

37,a (κλῦθι μου:) ἐπάκουσέ μου. (νηόν:) ναόν.

39,c (ἔρεψα:) ὠρόφωσα, ἐστεφάνωσα. (ἔκηα:) ἔκαυσα, τουτέστιν ἐκάρπωσα.

41,b (ταύρων ἠδ’ αἰγῶν:) ταύρων ἢ αἰγῶν. (τὸ δέ μοι:) τοῦτό μοι.

41,d (κρήηνον:) ἐπιτέλεσον. (ἐέλδωρ:) ἐπιθύμημα.

42,a (τίσειαν:) τιμωρίαν δοῖεν, ὅ ἐστι παράσχοιεν. (ἐμὰ δάκρυα:) ἐμῶν δακρύων.

44,a (χωόμενος:) ἐποργιζόμενος, λυπούμενος. (κῆρ:) ὀξυτόνως μὲν ἡ ψυχή, περισπωμένως (πε.

44,c scripsi: περισπώμενος Os 2 ) δὲ ἡ θανατηφόρος μοῖρα. (τόξ’ ὤμοισιν ἔχων:) τὸ τόξον ἐπὶ τοῖς ὤμοις ἔχων.

45,c (ἀμφηρεφέα:) τὴν ἑκατέρωθεν ἐσκεπασμένην. (φαρέτρην:) φαρέτραν, ἤγουν βελοθήκην.

46,a (ἔκλαγξαν:) ποῖον ἦχον ἀπετέλεσαν; (ὀϊστοί:) τὰ βέλη.

47,b-c (νυκτὶ ἐοικώς:) σκότει παραπλήσιος, φοβερὸς καὶ ἀόρατος. (ἕζετο:) ἐκαθέζετο.

48 (post B, ante C) (μετὰ δ’:) μετὰ ταῦτα δέ. (ἰόν:) βέλος.

48,d (ἕηκε:) ἔπεμψεν, ἀφῆκεν. (δεινή:) φοβερός.

49,b (κλαγγή:) ἦχος τῆς τοῦ τόξου νευρᾶς. (οὐρῆας:) ὀρεῖς, ὑποζύγια.

50,b (ᾤχετο:) ἐπῄει, ἐπήρχετο. (inter A et B) (ἔπειτ’:) μετὰ ταῦτα.

51,c (ἐφιείς:) ἐπιπέμπων. (βαλλ’:) ἔβαλλε, ἐκ βολῆς ἀνήρει, ἐτίτρωσκεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

52,c (πυραί:) πυρκαϊαί. (νεκύων:) τῶν νεκρῶν.

52,e (καίοντο:) ἐκαίοντο. (θαμειαί:) πυκναί, συνεχεῖς.

53,a (ἐννῆμαρ:) ἐπὶ ἐννέα ἡμέρας. (κῆλα:) βέλη, ὁτὲ σημεῖα.

54,a (δεκάτῃ:) προσυπακουστέον ἡμέρᾳ. (ἀγορήν:) ἐκ 〈κ〉 λησίαν, συνέδριον.

56,a (κήδετο:) ἐφρόντιζεν. (ὁρᾶτο:) ἕωρα, ἔβλεπε.

57,a (ἤγερθεν:) συνηθροίσθησαν. (ὁμηγερέες τ’ ἐγένοντο:) ὁμοῦ κατὰ τὸ αὐτὸ ἐγένοντο.

58,a (ἀνιστάμενος:) ἀναστάς. (πόδας:) ποσί.

58,d (ὠκύς:) ὁ ταχύς. (παλιμπλαγχθέντας:) εἰς τοὐπίσω πλανηθέντες.

60 (νοστήσειν:) ἐπανελθεῖν, ὑποστρέψειν· νόστος γὰρ ἡ εἰς οἶκον ὑποστροφὴ διὰ τὸ τῆς πατρίδος ἡδύ. (δαμᾷ:) δαμάζει, καταπονεῖ.

63 (ὀνειροπόλον:) τὸν δι’ ὀνείρων μαντευόμενον. (εὐχωλῆς ἐπιμέμφεται:) δεήσεται εὐχῆς.

69 (ὄχ’ ἄριστος:) ἐξόχως (Os 3 : ἔξοχος Os 2 ) ἄριστος. (ᾔδη:) ἠπίστατο.

71 (ἡγήσατο:) ἡγέμων ἐγένετο. (κέλεαί με:) κελεύεις με.

74,b (μυθήσασθαι:) εἰπεῖν, ἀπαγγεῖλαι. (σὺ δὲ σύνθεο:) σὺ δὲ σύνθου καὶ κατάνευσον· κατὰ διάλυσιν.

77 (ἀρήξειν:) βοηθήσειν. (ὀΐομαι:) ὑπολαμβάνω.

78,b (χολωσέμεν:) εἰς ὀργὴν ἐμβαλεῖν. (κρείσσων:) ἐπικρατέστερος.

80,b (χέρηϊ:) ἐλάττονι. (πέψῃ:) κατάσχῃ, δαπανήσῃ.

85,a (θαρσήσας:) εὐθαρσὴς καὶ ἄφοβος γενόμενος. (θεοπρόπιον:) τὸ ἐκ θεῶν μάντευμα.

85,d (ὅ τι οἶσθα:) ὅ τι ἠπίστασαι (ἠπ. scripsi: ἠπίσθασαι Os). (βαρείας:) ὑβριστικάς, φονικάς.

98,b (δόμεναι:) δοῦναι. (ἑλικώπιδα:) μελανόφθαλμον.

98,d (κούρην:) κόρην, θυγατέρα. (ἀπριάτην:) ἄνευ πράσεως καὶ δώρων, ἐπιρρηματικῶς.

100,a (ἱλασσάμενοι:) ἐξιλεωσάμενοι, ἐξευμενίσαντες. (κρείων:) μεγαλῶς κρατῶν καὶ βασιλεύων.

103,a (ἀχνύμενος:) λυπούμενος, ὀργιζόμενος. (μένεος:) ὀργῆς, θυμοῦ.

104,a (πίμπλαντο:) ἐπληροῦντο. (ὄσσε:) ὄμματα, ὀφθαλμοί.

104,c (λαμπετόωντι:) λάμποντι. (ἐΐκτην:) ὡμοίωντο (Os 3: litt.

104,d quintam inc. del. Os 2 ) (κάκ’ ὀσσόμενος:) δειλὸν καὶ ὀργίλον ὑποβλεπόμενος.

106 κρήγυον: τὸ ἀληθές· νῦν δὲ τὸ ἀγαθόν. (προβέβουλα:) προκέκρικα, προτιμῶ.

114 (ἀλόχου:) γυναικός. (δέμας:) κατὰ τὸ σῶμα.

118 ἑτοιμάσατε: ἑτοῖμον (ἑτ. scripsi: ἑτοίμην Os 2 ) ποιήσατε. (λεύσετε:) ὁρᾶτε, βλέπετε.

121 (ποδάρκης:) ἤτοι ὁ τοῖς ποσὶ ταχύς, ἢ ὁ ἐπαρκεῖν τοῖς ποσὶ δυνάμενος, ἰσχυρός. (ξυνήϊα:) κοινὰ χρήματα.

125,a (ἐξεπράθομεν:) ἐξεπορθήσαμεν. (δέδασται:) δεδαιẹ ⌊ b Os 1 (δέδασται:) μεμέρισται.

126,a (οὐκ ἐπέοικε:) οὐ προσῆκόν ἐστιν. (παλίλλογα:) πάλιν σύλ 〈λ〉 εκτα.

126,b ἀντὶ τοῦ οὐ δικα ⌊ ῖ ⌋ όν ἐστιν εἰς τὸ αὐτὸ πάλιν συνάγειν τοὺς Ἕλληνας τὰ ἅπαξ φθάσαντα αὐτοῖς διαμερισθῆναι χρήματα. αἴ κέ ποθι Ζεύς: ἐάν ποτε ὁ Ζεύς.

129,b (πόλιν Τροίην:) τὴν Τρωϊκὴν πόλιν, λέγει δὲ τὴν Ἴλιον. ἐξαλαπάξαι: ἐκπορθῆσαι.

131,b (θεοείκελ’:) θεοῖς τὸ εἶδος ὅμοιε. (οὐ παρελεύσεαι:) οὐ παρελεύσῃ (–λεύσεις Os 2 : –ελθεῖς Os 3 ).

132

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οὐ νικήσεις με. ἀπὸ μεταφορᾶς τοῦ δρόμου, ἐν ᾧ 〈ὁ〉 (addidi) παρελθὼν νικᾷ. (δευόμενον:) ἐνδεόμενον, χρῄζοντα.

134,c (κέλεαι δέ με:) κελεύεις δέ (δέ sscr. add. Os 3 ) με. (ἄρσαντες κατὰ θυμόν:) ἁρμόσαντες κατὰ θυμόν, τουτέστιν ἄρεστον καὶ θυμῆρες ποιήσαντες.

142,a (ἐς δ’ ἐρέτας:) εἰς αὐτὴν δὲ καὶ κωπηλάτας (κω. scripsi: κωπηλάτες Os 3 [ε in loco alt. litt., ut vid.]) (ἐπιτηδές:) ἐπιτηδείους.

143,b (καλλιπάρῃον:) καλὰς παρειὰς ἔχουσαν. (ἔστω:) γενέσθω.

146 (ἐκπαγλότατε:) ἐκπληκτικώτατε, φοβερέ, ἢ ἐξοχώτατε (ἐξ. scripsi: ἐξωχώτατε Os 2 ). (ἑκάεργον:) πόρρωθεν (scripsi: πόρροθεν Os 3 : ὄρροθεν Os 2 ) εἴργοντα ἢ πόρρωθεν (πο.
147,a scripsi: πόρροθεν Os 2 ) ἐργαζόμενον, τόξο〈ι〉 σι. ἱλάσσεαι: ἐξιλεώσῃς, λιτανεύσῃς.

147,c (ῥέξας:) ἱερουργήσας, θύσας. (ὑπόδρα:) δεινὸν ὑποβλεψάμενος.

149,b (ἀναιδείην:) ἀναισχυντίαν (ι 2 et α 3 in loco al. litt. inc.). (ἐπιειμένε:) ἠμφιεσμένε, περιβεβλημένε.

149,d (κερδαλεόφρον:) πανοῦργε τὸ φρόνημα· ἢ περὶ κέρδη τὸν νοῦν ἔχων, τουτέστι κερδαίνειν φρονῶν. (αἰχμητάων:) πολεμητῶν.

153,a (δεῦρο:) ἐνταῦθα. (μαχησόμενος:) μαχούμενος, πολεμήσων.

155,a Φθία: πόλις Θεσσαλίας παραθαλασσία, πατρὶς Ἀχιλλέως. βωτιανείρῃ: ἀνδρὰς (ἀν.
155,c scripsi: ἀνδρὸς Os 2 ) βοσκούσ ⸤ ῃ ⸥ ἢ τρεφούσῃ. (ἠχήεσσα:) ἠχητική, ἀπὸ τῆς τῶν κυμάτων κινήσεως.

152-7 ὁ δὲ λόγος· οὐδέποτε ἠδίκησάν με οἱ Τρῶες, ἐπεὶ μεταξὺ Φθίας καὶ Ἰλίου πολλά ἐστι μέγιστα ὄρη καὶ πολλὴ θάλασσα, ὡς μὴ εἶναί με ἀστυγείτονα. (ἀρνύμενοι:) καταλλασσόμενοι, λαμβάνοντες.

159,b1 κυνῶπα: τὰ εἰς πης ποιητικῶς εἰς α ποιοῦσι τὴν κλητικήν, ὡς καὶ ἴστε. Os 1 κυνῶπα: ἀναιδέστατε.

160 ἀλεγίζεις: οὐδὲ λόγον πο ⸤ ι ⸥ εῖς (scripsi: –ῇ Os 2 ) τινα. ἐμόγησα: ἐκοπίασα, ἐκακοπάθησα.

168 (ἐπήν κε κάμω πολεμίζων:) καὶ ταῦτα (post ταῦτα ver b. πολεμίζων hab. Os 2 : del. Os 3 ) ἐπειδὰν κακοπάθησα πολεμῶν. (ἄφενος:) πλοῦτον.

171,a κυρίως δὲ ἄφενος λέγεται ἡ ἀ φ ’ ἑνὸς ἐνιαυτοῦ περιουσία, πλοῦτος δὲ ἡ ἀπὸ πολλῶν. (ἀφύξειν:) ἀπαντλήσειν, †πρόσω (πρ.
171,b Os 3 : πρωσο Os 2 ) ῥάσειν† (lege: περισωρεύσειν). τὸ δὲ ὅλον· οὐχ ὑπολαμβάνω δέ σε, φησίν, ἐμοῦ ἀπόντος καταστρέψαι (α 3 in loco litt. ει) τὴν Ἴλιον καὶ πολὺν πλοῦτον λαβεῖν. (λίσσομαι:) λιτανεύω, παρακαλῶ.

174,b-c (εἵνεκ’ ἐμεῖο:) ἕνεκα ἐμοῦ. (φάσθαι:) ἰσηγορῆσαί μοι, τουτέστιν ἐξ ἴσου πρός με λέγειν.

189,b (μερμήριξε:) ἐμερίμνησεν, ἐνεθυμήθη. (ἀναστήσειεν:) ἀναστάτους καὶ ἐν ταραχῇ ποιήσειε, τουτέστι φυγάδας καταστήσειε.

194,a (κουλεοῖο:) ξιφοθήκης. (ξανθῆς:) καλῆς, πυρρᾶς.

197,b (κόμης:) τῆς τριχώσεως. εἴρηται παρὰ τὸ κόσμ{ι}ον εἶναι τοῦ σώματος. (γλαυκῶπις:) ἡ γλαυκόφθαλμος, ἡ γλαυκοὺς καὶ καταπληκτικοὺς ὦπας {ὦπας} ἔχουσα.

207 αἴ κε πίθηαι: ἐὰν πεί{σ}θῃ{ς} ἐμοί. ἕλκεο: ἕ{ι}λκε.

214,a (σὺ δ’ ἴσχεο:) σὺ δὲ παύου. (πείθεο δ’ ἡμῖν:) πείθου δ’ ἡμῖν.

216,b (εἰρύσασθαι:) φυλάξαι. (σχέθε:) ἔπεσχεν, ἔβαλλεν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

220 (οὐδ’ ἀπίθησε:) οὐδ’ ἠπίθησεν, ἀλλ’ ἐπείσθη. (βεβήκει:) ἀπεληλύθει, ἐπορεύθη.

225 (κραδίην:) καρδίαν. τὸ δὲ πάθος τῆς λέξεως μετάθεσις καὶ κραδίη δ’ ἐλελίχθη. εἴρηται δὲ ἀπὸ τοῦ κραδαίνεσθαι (κρ. Os 3 [αι sscr. add. Os 3 lectione prima inc. deleta]) καὶ πάλλεσθαι ἀεὶ τῆς καρδίας σπλάγχνον. (θωρηχθῆναι:) καθοπλισθῆναι.

227.1 σὺν ἀριστήεσσιν (ἀρ. Os 3 : στη in loco al. litt. inc.): σὺν τοῖς ἀρίστοις ἡγεμόσι. (inter A et B) θυμῷ: τῇ ψυχῇ.

228 (inter A et B) τὸ δέ τοι: δεικτικώτερον, ἀναφοριστικώτερον (ἀν. scripsi: ἀναφωριστικότερον Os 2 ). (inter A et B) κήρ: θάνατος. †τοῦτο γάρ φησι τῷ ἐν πολέμῳ ἢ λόγῳ† (malim 〈διὰ〉 τοῦτο γάρ φησί 〈σε〉 ἐν πολέμῳ ἢ λόχῳ) 〈οὐχ〉 εὑρεθῆναι, ὡς θάνατος μισητόν σοι φαίνεται παραγενέσθαι (deinde quid sibi velint verba κεκαρσέ ρηκος υπομένηκος nescio). εἴδεται: φαίνεται, δοκεῖ.

229,a (ἦ πολὺ λώϊόν ἐστι:) ἀλλ’ ὄντως δή σοι τοῦτο καλὸν εἶναι νομίζεται. κατὰ στρατόν: κατὰ τὸ στρατόπεδον.

229,c εὐρύν: πλατὺν καὶ μέγιστον. δῶρ’ (ante δῶρ’ verba δῶρ’ ἀπο.

230,a .. habuit Os 2, del. Os 3 : δῶρ’ Os 3 , δῶρα Os 2 ) ἀποαιρεῖσθαι: τὰ παρ’ ἄλλῳ τινὶ δεδομένα (δεδ. Os 3 : διδομενα Os 2 ) δῶρα ἀφαιρεῖσθαι. ὅς τις σέθεν: ὅστις σου.

230,c ἀντίον: ἐξ ἐναντίας. δημοβόρος: ὁ τὰ δημόσια κατεσθίων.

231,b οὐτιδανοῖσιν: οὐδενὸς λόγου ἀξίο〈ι〉ς, ἀσθενέσιν. ἀνάσσεις: βασιλεύεις.

232,a ἦ γὰρ ἄν, Ἀτρεΐδη: ὄντως γάρ, υἱὲ τοῦ Ἀτρέως Ἀγάμεμνον (Ἀγ. scripsi: Ἀγαμέμνων Os 2 ). (οὐδ’ ἀναθηλήσει:) οὐδὲ ἀναβλαστήσει.

236,b (περὶ γάρ ῥά ἑ χαλκὸς ἔλεψε:) περιελέπισε γὰρ αὐτὸ ὁ σίδηρος, ὅ ἐστιν ἔγλυψε. φύλλα τε καὶ (post καὶ 2 litt.

237,a inc. del.) φλοιόν: τά τε φύλλα καὶ τὸν φλοιόν. φλοιὸς δέ ἐστι τὸ καλούμενον λέπος. νῦν αὖτέ μιν: νῦν αὖτε πάλιν.

237,c υἷες Ἀχαιῶν: περιφραστικῶς οἱ Ἕλληνες. ἐν παλάμῃς: ἐν ταῖς χερσί.

238,b φορέουσι: φοροῦσι, βαστάζουσι. δικασπόλο〈ι〉: οἱ περὶ τὰς δίκας ἀναστρεφόμενοι βασιλεῖς καὶ νόμους.

238,d θέμιστας: δικαιοσύνας. πρὸς Διός: παρὰ τοῦ Διός.

239,b εἰρύαται: ῥύονται, φυλάσσονται. τὸ δὲ ὅλον· οἵτινες τὰς δίκας (δίκας scripsi: δίδας Os 2 ), τοὺς νόμους, παραλαβόντες φυλάττουσι. ὁ δέ τοι 〈ἔσσεται〉: οὗτος δέ σοι ἔσται, γενήσεται.

240,a ἦ ποτ’ Ἀχιλλῆος: ὄντως δὴ ποτὲ ἐμοῦ τοῦ Ἀχιλλέως. ποθή: πόθησις, ἐπιζήτησις.

240,c ἵξεται: παραγενήσεται. σύμπαντας: ὁμοῦ πάντας.

241,b τοῖς δ’ οὔ τι (τι Os 3 : τ. Os 2 ): τούτοις δὲ οὐδέν. ἀχνύμενός περ: καίπερ λυπούμενος.

242,a χραισμεῖν: βοηθεῖν. εὖτ’ ἄν: ὁπότ’ ἄν.

242,c πολλοί: πλεῖστοι. ὑφ’ Ἕκτορος: 〈.

242,d ..〉 θνήσκοντες (ο in loco alt.

243,a litt. del. add. Os 2 ): ἀποθνήσκοντες, πίπτοντες νεκροί. σὺ δ’ ἔνδοθι (post ἔνδοθι verb.

243,b θυμὸν ἀμ habuit Os 2 : del. Os 3 ): σὺ ἔσωθεν. θυμόν: τὴν ψυχήν.

259,d ἐμεῖο: ἐμοῦ. ἀρείοσιν: βελτί〈ο〉σιν, κρείττοσιν.

260,c ἠέ περ ὑμῖν: ἢ ὑμῖν. ὡμίλησα: συνανεστράφην.

261,b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ οὔ ποτέ μοι: καὶ οὐδέ ποτέ μοι. ἀθέριζον: ἠπίθουν, ἀπεδοκίμαζον.

262,a οὐ γάρ πω: οὐδέ ποτε γάρ. τοίους: τοιούτους.

262,c ἴδον: ἐθεασάμην. ἀνέρας: ἄνδρας.

262,e οὐδὲ ἴδωμαι (ἴδ. scripsi: ἴδομαι Os 2 ): οὐδὲ ἰδεῖν δυνήσομαι. οἷον: ὁποῖον.

263,c Δρύαντά τε: καὶ τὸν Δρύαντα. ποιμένα λαῶν: βασιλέα ὄχλων.

264,a Ἐξάδιόν τε: καὶ τὸν Ἐξάδιον. ἀντίθεον: ἰσόθεον.

266,a κεῖνοι: ἐκεῖνοι. ἐπιχθονίων: ἐπιγείων.

266,c τράφεν: ἐτράφησαν. ἔσαν: ἦσαν, ὑπῆρχον.

268,a φηρσί: θηρσί· θηρίοις λέγει τοῖς κενταύροις. (ὀρεσκῴοισι:) τοῖς ἐν ὄρεσι διαιτωμένοις.

268,c ἐκπάγλως: ἐκπληκτικῶς, ὅ ἐστι κατὰ κράτος (κράτος Os 2 ut vid.: κράτως Os 3 ) αὐτοὺς ἐξαπώλεσαν. καὶ μὲν τοῖσιν ἐγώ: {καὶ τούτους μὲν ἐγὼ} (seclusi) καὶ τούτοις μὲν ἐγὼ τοῖς περὶ τὸν Πειρίθουν.

269,b μεθομίλεον: συνανεστραφόμην, συνεμαχόμην. τηλόθεν: πόρρωθεν, μακρόθεν.

270,b ἐξ ἀπίης γαίης: ἐκ τῆς ἀλλοδαπῆς καὶ μακρὰν ἀπεχούσης γῆς. καὶ μαχόμην: καὶ ἐπολέμουν.

271,b κατ’ ἐμαυτόν: κατὰ τὴν ἐμαυτοῦ δύναμιν. κείνοισι δ’ ἂν οὔ τις: πρὸς ἐκείνους δὲ οὐδεὶς ἴσχυε τῶν (τῶν Os 2 : τον Os 3 ) νῦν ὄντων ἀνθρώπων.

272,a τῶν: τούτων. οἵ: ὁποῖοι.

272,c βροτοί: ἄνθρωποι, φθαρτοί. ἡ μεταφορὰ ἀπὸ τῶν ἐδεσμάτων. ἐπιχθόνιοι: ἐπίγειοι.

272,d χθὼν γὰρ ἡ γῆ. μαχέοιτο: μάχοιτο.

273,a καὶ μέν μευ: καὶ μὴν ἐμοῦ. βουλέων: συμβουλιῶν.

273,c (ξύνιεν:) ἤκουον, ἐπείθοντο. καὶ ὔμμες: καὶ ὑμεῖς.

274 Αἴολις ἡ διάλεκτος. ἀγαθός περ ἐών: καίτοι βασιλεὺς ὑπάρχων.

275,a ἢ ἀγαθὸς τὴν γνώμην, ἀμείνων (ἀμ. Os 3 : ἀμείνον Os 2 ), κρείττων. κούρην: κόρην.

275,c ἡ διάλεκτος Ἰώνων. ὥς οἱ πρῶτα: ὡς αὐτῷ ἐξ ἀρχῆς.

276,c δόσαν: παρέσχον. θέλε: βούλου.

277,b ἐριζέμεναι (scripsi: ἐρισέμεναι Os 2 ): ἐρίζειν, φιλονεικεῖν, ἐξισοῦσθαι. ἀντιβίην: ἐξ ἐναντίας.

278,b ὁμοίης: ἴσης καὶ τῆς αὐτῆς. ᾧ τε Ζεύς: καὶ ᾧτινι ὁ Ζεύς.

279,b κῦδος: δόξαν. ἔδωκε: παρέσχε.

280,a καρτερός: ἰσχυρός. ἐσσί: ὑπάρχεις.

280,c θεὰ δέ σε: ὅτι τῆς Θέτιδος ἦν υἱὸς τῆς Νηρέως θυγατρός, αὐτὴ δὲ ἀθάνατος. ἀλλ’ ὅ γε: ἀλλ’ οὗτος.

281,b φέρτερος: κρείσσων. πλεόνεσσι {ἀνάσσει}: πλείοσιν {ὅτι πλείονες}.

282,a τέον μένος: τὴν σὴν ὀργήν. αὐτὰρ ἔγωγε: ἐγὼ δέ.

283,a λίσσομαι: λιτανεύω, παρακαλῶ. χόλον: ὀργήν.

283,d ὃς μέγα: ὅστις μέγα. ἕρκος: περίφραγμα, τεῖχος.

284,b πέλεται: γίγνεται, ἐστί. πολεμοῖο κακοῖο: τοῦ κακωτικοῦ (κακο– O) πολέμου.

285 κρείων: μεγάλως κρατῶν. κατὰ μοῖραν: κατὰ τὸ προσῆκον, κατὰ τὸ πρέπον.

316 ἀτρυγέτοιο: ἀκαταπονήτου, πολλῆς, ἤ, ὡς ἔνιοί {φρ.} φασι, τῆς ἀκάρπου. (ἔρχεσθον:) ἀπέρχεσθαι δυϊκῶς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

324 (μὴ δώῃσιν:) μὴ παράσχῃ. δεῖ λαμβάνειν (fort. 〈ὑπο〉 λαμβάνειν) δύο ἐπε{υ}κτάσει ⌞ σ ⌟ . (προΐει:) προέπεμπε.

327,b (βάτην:) ἔβησαν, ἐπορεύθησαν. (ἱκέσθην:) ἀφίκο ⌞ ν ⌟ το, παρεγένοντ ⌞ ο ⌟ .

330,a ἥμενον: καθεζόμενον. (ταρβήσαντε:) φοβηθέντες, δυϊκῶς, διὰ τὴν ξιφου 〈λ〉 κίαν.

331,b (αἰδομένω:) αἰδεσθέντες. {ὔμμε:} οὔ τί μοι ὔμμες: κατ᾽ οὐδέν μοι ὑμεῖς.

335,b ψιλοῦται τὸ ὔμμες ὡς Αἰολικόν· „αἴ κ᾽ ὔμμιν (ὔμ. Il.: υμ Os 2 ) ὑπέρσχῃ χεῖρα Κρονίων“ (Δ 249). ἐπαίτιοι: αἴτιοι.

336,a (ὃ σφῶϊ:) ὃς ὑμᾶς. προΐει: ἔπεμπε.

337,a ἔξαγε: ἔξω τῆς σκηνῆς κόμιζε. κούρην {δ᾽}: Βρισήϊδα.

338,a καὶ σφῶϊν: καὶ αὐτοῖς. ἄγειν: ἀπάγειν.

338,c τὼ δ᾽ αὐτώ: οὗτοι καὶ αὐτοί. μάρτυροι: μάρτυρες.

338,d Ἰακὴ ἡ διάλεκτος. ἔστων: ἔστωσαν ὑπαρχέτωσαν.

339,a πρός τε θεῶν: καὶ πρὸς τοὺς θεούς. μακάρων: μακαρισμοῦ ἀξίων, εὐδαιμόνων.

340,a ἀπηνέος: ἀπηνοῦ, σκληροῦ, χαλεποῦ. εἴ ποτε δὴ (η sscr.

340,b add. Os 3 ) αὖτε: ἐάν ποτε πάλιν. (χρειὼ ἐμεῖο:) χρεία ἐμοῦ.

341,b ἀεικέα: αἰκιστικόν, χαλεπόν. λοιγόν: ὄλεθρον.

341,d ἀμῦναι: ἀποσοβῆσαι, ἀποστρέψαι. ἦ γὰρ ἄν: ὄντως γὰρ ἄν.

342,b ὅ γε: οὗτος. ὀλο 〈ι〉 ῇσι: ὀλεθρίαις.

342,d θύει: ἐνθουσιάζει (scripsi: ἐνθουσιαδεῖ Os), ὀργιᾷ, ὅ ἐστι μαίνεται. (ἴτην:) παρεγένοντο.

347,2 (ἴτην:) ἐπορεύοντο. ἄφαρ: εὐθέως, ταχέως.

349,b (λιασθείς:) χωρισθείς. (θῖν᾽ ἐφ᾽ ἁλός:) ἐπὶ τὸν αἰγίαλον τῆς θαλάσσης.

353,b (ἐγγυαλίξαι:) ἐγχειρίσαι, παρασχ ⌞ εῖν ⌟ . (ἀπούρας:) ἀφορίσας, ἀφελόμενος.

357 πό{ν}τνια: ἡ βασίλεια, ἔντιμος, ἡμένη: καθεζομένη.

358,b ἐν βένθεσ 〈σ〉 ιν: ἐν τοῖς βαθέοις. (καρπαλίμως:) ταχές.

359,b (ἀνέδυ:) ἀνῆλθεν. (οἶσθα:) οἶδας, ἐπίστασαι.

367 (καὶ ἤγομεν:) καὶ ἠγάγομεν. (εὖ δάσσαντο:) καλῶς ἐμέρισαν.

381 (ἦεν:) ὑπῆρχεν. (ἐπασσύτεροι:) ἐπάλληλοι, πυκνοί.

386 (ἱλάσκεσθαι:) ἐξιλεοῦσθαι (scripsi: ἐξελεοῦσθαι Os 2 ), ἐξευμενίζεσθαι. (παιδὸς ἑῆος:) τοῦ σοῦ παιδός.

394 (λίσαι:) λιτάνευσον. (πατρὸς ἐνὶ μεγάροισιν:) ἐν τοῖς τοῦ πατρός μου Πηλέως οἴκοις.

396 ἐν θαλάσσῃ γὰρ Πηλεὺς κατοικεῖν οὐκ ἠδύνατο. (ὅτ᾽ ἔφησθα:) ὅτ᾽ ἔλεγες.

398 (ἀμῦναι:) ἀποσοβῆσαι, ἀποστρέψαι τὸν ὄλεθρον. (ὑπελύσαο:) ἐξείλου, ἔλυσας (υ in loco alt.

401 litt. inc., ut vid.). (ὑπέδεισαν:) ἐφοβήθησαν.

406,b (οὐδ᾽ ἔτ᾽ ἔδησαν:) τὸ πλῆρες οὐκ ἔ 〈τι〉 ἔδησαν. (μνήσασα:) ὑπομνήσασα.

408 ante A (αἴ κέν πως:) ἐάν (scripsi: ἐόν Os 2 ) πως. (ἀρῆξαι:) ἐπιβοηθῆσαι τοῖς Τρωσί.

409 (ἔλσαι:) ἔλος συνελάσαι, συγκλεῖσαι. κτανομένους: ἀναιρουμένους, φονευομένους (ἵνα πάντες ἐπαύρωνται:) ἵν᾽ ἀπο{ * πο}λαύσωσι ( * = litt.

410,b inc. del.) πάντες τῆς ἀβουλίας τοῦ βασιλέως, τουτέστιν ἵνα ἀπόλωνται (ἀπ. Os 3 : ἀπόλλωνται Os 2 ) δι᾽ αὐτόν. γνῷ: γνωρίσῃ, μάθῃ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

412,a ἣν ἄτην: τὴν ἰδίαν ἀβουλίαν καὶ βλάβην. ὅ τ’ ἄριστον: ὅτι τὸν ἄριστον.

412,c οὐδὲν ἔτεισεν: κατ’ οὐδὲν ἐτίμησεν. ἠμείβετο: ἀπεκρίνατο.

413,b δάκρυ χέουσα: δακρύουσα, κλαίουσα. (ante A) τί νύ 〈ς’ ἔτρεφον〉: διατί δή σε ἀνέτρεφον; (αἰνὰ τεκοῦσα:) ἐπὶ κακὰ (κ.

414,b litt. ult. inc. Os 2 ) γεννήσασα. αἴθ’ ὄφελες: εἴθε ὄφελες.

415,a ἔστιν ἐφίρρημα εὐκτικοῦ. ἀδάκρυτος: ἄνευ δακρύων, ἄλυπος.

415,c ἀπήμων: ἀβλαβής. ἐπεί νύ τοι: ἐπεὶ δή σοι.

416,b αἶσ{σ}α: εἱμαρμένη, μοῖρα. μίνυνθα: ἐπὶ (sup.

416,c ἐπὶ verb. τη ut vid. add. Os 3 ) 〈ὀ〉λίγον χρόνον. ἅμα: ὁμοῦ.

417,b ὠκύμορος: ταχυθάνατος. ὀϊζυρός: ἐπίπονος, ταλαίπωρος (τ.

417,c scripsi: ταλαίπορος Os 2 ), ἄθλιος. (ἔθεεν:) ἔπλει, νῦν δὲ ἔτρεχε (immo vice versa).

483,c (διαπρήσσουσα:) διαπερῶσα, διερχομένη. (κέλευθον:) πλοῦν, ἄλλοτε δὲ τὴν διὰ τῆς γῆς ὁδόν.

485,a (ἐπ’ ἠπείροιο:) ἐπὶ τῆς γῆς. (ἔρυσαν:) ἀνείλκυσαν.

486,a ὑψοῦ: ἐφ’ ὕψους. ἐσκίδναντο: ἐσκορπίζοντο.

488,b (παρήμενος:) παρακαθήμενος. (πωλέσκετο:) ἀνεστρέφετο, παρεγένετο.

491 (φθινύθεσκε:) διέφθειρεν. ποθέεσκε (le.

492 om. Os 2md ): ἐπόθει (Os 2md : ἐπεπόθει Os 2minf, qui add. ἐπεζήτει). ἀϋτήν: βοήν.

492,b ἀπὸ δὲ τοῦ παρακο{υ}λουθοῦντός φησι τὴν μάχην. ἐκ τοῖο: ἐξ ἐκείνου τοῦ χρόνου.

493,b {δυοδεκάτη (lege δυωδεκάτη)} γένετο: ἐγένετο· τὸ πάθος ἀφαίρεσις. ἴσαν: ἐπορεύοντο.

494,c αἰὲν ἐόντες: οἱ διὰ παντὸς ὄντες, ἀθάνατοι. (ante A) ἅμα: ὁμοῦ καὶ κατὰ τὸ αὐτό.

495 (inter A et B) ἦρχε: ἡγεῖτο. (inter B et C) οὐ λήθετο: οὐκ ἐπελάθετο. ἐφετμέων (le.

495,c om. Os 2md ): τῶν (τῶν om. Os 2minf ) ἐντολῶν. παιδὸς ἑοῦ: τοῦ ἑαυτῆς υἱοῦ.

496,b ἀλλ’ ἥ γε: ἀλλ’ αὕτη. ἀνεδύσατο: ἀνέδυ, ἀνῆλθεν.

496,c ἀπὸ τοῦ δύω ἐνεστῶτος. ἠερίη: ἑωθινή, ὀρθρινή.

498,a εὗρεν: κατέλαβεν (scripsi: ἐκατέβαλεν Os 2 ). εὐρύοπα (Il.

498,b : εὐρύωπα Os 2minf : Om. Os md ): 〈...〉 (lac. statui; supplenda ex sch. Δ: ἤτοι μεγαλόφθαλμον, παρὰ τοὺς ὦπας, ἢ μεγαλόφωνον, παρὰ τὴν ὄπα), ὅ ἐστι τὴν φωνήν. Κρονίδην: Κρόνου παῖδα, Δία.

499,a (ἀκροτάτῃ:) ἐπὶ τῆς ἀκρωρείας, ἐπὶ τῆς ὀξύτητος (ὀξ. Os 3 : ὀξύτατος Os 2 ). (καὶ λάβε:) καὶ ἐλάβετο, ἐκράτησε.

501,a1 σκαιῇ: ἀριστερᾷ. σκαιῇ: δεξιᾷ.

501,c (ἀνθερεῶνος:) τοῦ ὑπογένειον τόπον (τ. scripsi: τόπου Os 2 ), παρὰ τὴν ἐξάνθησιν τῶν τριχῶν. (ἑλοῦσα:) λαβομένη, κατέχουσα.

502,a λισσομένη: παρακαλοῦσα. εἴ ποτε δή σε: ἐάν ποτέ σε.

503,b μετ’ ἀθανάτοισιν: ἐν τοῖς θεοῖς. ὄνησα (Il.

503,c : ὤνησα Os 2 ): ὠφέλησα. ἢ ἔπει: ἢ λόγῳ.

505 ὠκυμορώτατος: ταχυθάνατος. (ἔπλετο:) ἐγένετο.

508,b (μητίετα:) βουλευτικώτατε. τόφρα: ἐπὶ τοσοῦτον.

509,b τίθει: πάρεχε. ὄφρ’ ἂν Ἀχαῖοι: ἕως ἂν Ἕλληνες.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

510 τίσωσιν: τιμήσωσιν. (ἀλλ’ ἀκέων:) ἀλλὰ ἡσυχάζων.

512 (inter A et B) δήν: ἐπὶ πολὺν χρόνον. ἧστο: ἐκαθέζετο.

513 (ante A) ἔχετο: εἴχετο, ἐκράτει. τῷ παθητικῷ ἀντὶ ἐνε〈ρ〉γητικοῦ. εἴρετο: ἀνηρώτᾳ.

513,c δεύτερον αὖτις (αὖτις Il.: αὖθις Os 2 ): ἐκ δευτέρου πάλιν. νημερτές: ἀληθές.

514,b ὑπόσχεο καὶ κατάνευσον: δὶς τὸ αὐτὸ πέφρακεν ἐπιτάσεως χάριν, ἀντὶ τοῦ ὑπόσχου μοι. ἢ ἀπόειπε: ἢ ἀπάρνησαι καὶ ἄπειπον.

515,b ἐπεὶ οὔ τοι: ἐπεὶ οὐδαμῶς σοι. ἔπι: ἔπεστι.

515,d δέος: φόβος (φ. scripsi: βόβος Os 2 )· τουτέστιν, ἐπειδὴ οὐ φοβῇ τῶν θεῶν τινα. ὄφρ’ ἐῢ ἴδω: ὅπως καλῶς μάθω.

516,a ὅσσον ἐγώ: ὁπόσον ἐγώ. μετὰ πᾶσιν: ἀντὶ τοῦ ἐν ἅπασι τοῖς ἀνθρώποις.

516,c ἀτιμοτάτη (Os 3 : ἀτιμωτάτη ut vid. Os 2 ): ἄτιμος ὑπάρχω. μέγ’ ὀχθήσας: μέγα στενάξας καὶ δεινοπαθήσας.

517,b νεφεληγερέτης: ὅ ἐστι νέφων ἀθροιστικός (ἀθ. Os 3 [κο in loco litt. ει]). (ante A) ἦ δὴ λοίγια ἔργα: ὄντως ὀλέθρια (ὀλ.

518 Os 3 [ι sscr.]: ὄλεθρα Os 2 ). ἐφήσεις: ἐποτρυνεῖς, ἐφορμήσεις, ὅ ἐστιν ἀναγκάσεις.

532,a (εἰς ἅλα ἆλτο:) εἰς τὴν θάλασσαν καθήλατο, ἅτε δὴ οὖσα ἐνάλιος δαίμων. αἰγλήεντος: λαμπροῦ· παρὰ τὴν αἴγλην.

533,a ἑόν: πρὸς τὸ ἴδιον. δῶμα: οἴκημα.

534,a (ἐξ ἑδέων:) ἐκ τῶν καθεδρῶν. σφοῦ: ἰδίου.

534,c ἐναντίον: ἐξ ἐναντίας. ὣς ὁ μέν: οὕτως μὲν δὴ οὗτος.

536,b θρόνου: καθέδρας. ἠγνοίησεν: ἠγνόησεν (ἀγνόησεν Os 2 ).

537,b ὅτι οἱ: ὅτι αὐτῷ. συμφράσσατο: συμβουλεύσατο.

538,a ἀργυρόπεζα: λαμπρόπους. ἀπὸ μέρους ὅλη καλή· πέζα γὰρ ὁ πούς. ἁλίοιο γέροντος: τοῦ θαλασσίου Νηρέως.

539,a αὐτίκα: παραχρῆμα, εὐθέως. κερτομίοισιν: ἐρεθιστικοῖς, χλευαστικοῖς· νῦν δὲ τοῖς τὸ κέαρ, ὅ ἐστι τὴν ψυχήν, τέμνουσι καὶ λυποῦσι λόγοις.

540,a δολομῆτα: δόλια βουλευόμενε. αἰεί τοι φίλον: διὰ παντός σοι προσφιλές.

541,b ἐμεῦ: ἐμοῦ. νόσφι: χωρίς.

541,d ἐόντα: ὄντα, ὑπάρχοντα. κρυπτάδια: κρυφαῖα, λαθρίδια.

542,b φρονέοντα: διανοούμενα (scripsi: διανοούμενον Os 2 ), φιλοῦντα. δικαζέμεν: δικάζειν.

542,d οὐδέ τί πώ (πό Os 2 ) μοι: οὐδέ ποτέ μοι. πρόφρων (πρόφρον Os 2 ): προθύμως.

543,c ὅττι (Os 3 : οὔτι Os 2 ) νοήσεις: ὅπερ ἂν ἐνθυμηθῇς. πατὴρ ἀνδρῶν τε θεῶν τε: ὁ Ζεύς.

545,a (ἔλπεο:) ἔλπιζε. μύθους: λόγους.

546,a (εἰδήσειν:) μαθήσεσθαι (–σασθαι Os 2 ), γνῶναι. χαλεποί τοι ἔσονται: βλαβεροί σοι γενήσονται.

546,c ἀλόχῳ: γυναικί. 〈περ〉 ἐούσῃ: καὶ ὑπαρχούσῃ.

547,a ἀλλ’ ὃν μέν τινα (τινα Os 2 : κ’ Il.): ἀλλ’ ὅντινα μὲν λόγον προσ ⌞ ήκει ⌟ (suppl. ex sch. D; 4 litt. inc. del. Os 3 ) σε ἀκοῦσαι παρ’ ἐμοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org